ΚΑΤΑ ΛΟΥΚΑΝ
(1.) Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν
περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, (2.) καθὼς
παρέδοσαν ἡμῖν οἱ ἀπ’ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται
γενόμενοι τοῦ λόγου, (3.) ἔδοξε κἀμοὶ παρηκολουθηκότι
ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι, κράτιστε
Θεόφιλε, (4.) ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν
ἀσφάλειαν.
(5.) Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου βασιλέως τῆς
Ἰουδαίας ἱερεύς τις ὀνόματι Ζαχαρίας ἐξ ἐφημερίας Ἀβιά,
καὶ γυνὴ αὐτῷ ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα
αὐτῆς Ἐλισάβετ. (6.) ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐναντίον
τοῦ θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ
δικαιώμασιν τοῦ κυρίου ἄμεμπτοι. (7.) καὶ οὐκ ἦν αὐτοῖς
τέκνον, καθότι ἦν ἡ Ἐλισάβετ στεῖρα, καὶ ἀμφότεροι
προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. (8.) Ἐγένετο
δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας
αὐτοῦ ἔναντι τοῦ θεοῦ, (9.) κατὰ τὸ ἔθος τῆς ἱερατείας
ἔλαχε τοῦ θυμιᾶσαι εἰσελθὼν εἰς τὸν ναὸν τοῦ κυρίου,
(10.) καὶ πᾶν τὸ πλῆθος ἦν τοῦ λαοῦ προσευχόμενον ἔξω
τῇ ὥρᾳ τοῦ θυμιάματος· (11.) ὤφθη δὲ αὐτῷ ἄγγελος
κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος.
(12.) καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ’
αὐτόν. (13.) εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἄγγελος, Μὴ φοβοῦ,
Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου
Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα @1
αὐτοῦ Ἰωάννην. (14.) καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις,
καὶ πολλοὶ ἐπὶ τῇ γενέσει αὐτοῦ χαρήσονται· (15.) ἔσται
γὰρ μέγας ἐνώπιον [τοῦ] κυρίου, καὶ οἶνον καὶ σίκερα
οὐ μὴ πίῃ, καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ
κοιλίας μητρὸς αὐτοῦ, (16.) καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ
ἐπιστρέψει ἐπὶ κύριον τὸν θεὸν αὐτῶν. (17.) καὶ αὐτὸς
προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει
Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα καὶ
ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι κυρίῳ λαὸν
κατεσκευασμένον. (18.) Καὶ εἶπεν Ζαχαρίας πρὸς τὸν
ἄγγελον, Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρε-
σβύτης καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις
αὐτῆς. (19.) καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ, Ἐγώ
εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ, καὶ
ἀπεστάλην λαλῆσαι πρὸς σὲ καὶ εὐαγγελίσασθαί σοι
ταῦτα· (20.) καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι
ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ’ ὧν οὐκ ἐπίστευσας
τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν

αὐτῶν.
(21.) Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν, καὶ
ἐθαύμαζον ἐν τῷ χρονίζειν ἐν τῷ ναῷ αὐτόν. (22.) ἐξελθὼν
δὲ οὐκ ἐδύνατο λαλῆσαι αὐτοῖς, καὶ ἐπέγνωσαν ὅτι ὀπτα-
σίαν ἑώρακεν ἐν τῷ ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς,
καὶ διέμενεν κωφός. (23.) καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ
ἡμέραι τῆς λειτουργίας αὐτοῦ ἀπῆλθεν εἰς τὸν οἶκον
αὐτοῦ. (24.) Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλι-
σάβετ ἡ γυνὴ αὐτοῦ· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, @1
λέγουσα (25.) ὅτι Οὕτως μοι πεποίηκεν κύριος ἐν ἡμέραις
αἷς ἐπεῖδεν ἀφελεῖν ὄνειδός μου ἐν ἀνθρώποις.
(26.) Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος
Γαβριὴλ ἀπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα
Ναζαρὲθ (27.) πρὸς παρθένον ἐμνηστευμένην ἀνδρὶ ᾧ
ὄνομα Ἰωσὴφ ἐξ οἴκου Δαυίδ, καὶ τὸ ὄνομα τῆς παρθένου
Μαριάμ. (28.) καὶ εἰσελθὼν πρὸς αὐτὴν εἶπεν, Χαῖρε,
κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. (29.) ἡ δὲ ἐπὶ τῷ λόγῳ
διεταράχθη καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς
οὗτος. (30.) καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ, Μὴ φοβοῦ, Μαριάμ,
εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ· (31.) καὶ ἰδοὺ συλλήμψῃ ἐν
γαστρὶ καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
Ἰησοῦν. (32.) οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθή-
σεται, καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαυὶδ
τοῦ πατρὸς αὐτοῦ, (33.) καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον
Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ
ἔσται τέλος. (34.) εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, Πῶς
ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; (35.) καὶ ἀποκριθεὶς
ὁ ἄγγελος εἶπεν αὐτῇ, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ,
καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώ-
μενον ἅγιον κληθήσεται, υἱὸς θεοῦ. (36.) καὶ ἰδοὺ Ἐλι- @1
σάβετ ἡ συγγενίς σου καὶ αὐτὴ συνείληφεν υἱὸν ἐν γήρει
αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ
στείρᾳ· (37.) ὅτι οὐκ ἀδυνατήσει παρὰ τοῦ θεοῦ πᾶν
ῥῆμα. (38.) εἶπεν δὲ Μαριάμ, Ἰδοὺ ἡ δούλη κυρίου· γένοιτό
μοι κατὰ τὸ ῥῆμά σου. καὶ ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος.
(39.) Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις
ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα,
(40.) καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο
τὴν Ἐλισάβετ. (41.) καὶ ἐγένετο ὡς ἤκουσεν τὸν ἀσπασμὸν
τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησεν τὸ βρέφος ἐν τῇ
κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλισάβετ,
(42.) καὶ ἀνεφώνησεν κραυγῇ μεγάλῃ καὶ εἶπεν, Εὐλογη-
μένη σὺ ἐν γυναιξίν, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας
σου. (43.) καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου

μου πρὸς ἐμέ; (44.) ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ
ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει
τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου. (45.) καὶ μακαρία ἡ πιστεύσασα
ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου. @1
(46.) Καὶ εἶπεν Μαριάμ,
Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον,
(47.) καὶ ἠγαλλίασεν τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ
σωτῆρί μου,
(48.) ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.
ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ
γενεαί·
(49.) ὅτι ἐποίησέν μοι μεγάλα ὁ δυνατός,
καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ,
(50.) καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς καὶ γενεὰς
τοῖς φοβουμένοις αὐτόν.
(51.) Ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ,
διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας
αὐτῶν·
(52.) καθεῖλεν δυνάστας ἀπὸ θρόνων
καὶ ὕψωσεν ταπεινούς,
(53.) πεινῶντας ἐνέπλησεν ἀγαθῶν
καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.
(54.) ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ,
μνησθῆναι ἐλέους,
(55.) καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν,
τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν
αἰῶνα.
(56.) Ἔμεινεν δὲ Μαριὰμ σὺν αὐτῇ ὡς μῆνας τρεῖς, καὶ
ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. @1
(57.) Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν
αὐτήν, καὶ ἐγέννησεν υἱόν. (58.) καὶ ἤκουσαν οἱ περίοικοι
καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνεν κύριος τὸ ἔλεος
αὐτοῦ μετ’ αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. (59.) Καὶ ἐγένετο
ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ
ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν.
(60.) καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, Οὐχί, ἀλλὰ
κληθήσεται Ἰωάννης. (61.) καὶ εἶπαν πρὸς αὐτὴν ὅτι
Οὐδείς ἐστιν ἐκ τῆς συγγενείας σου ὃς καλεῖται τῷ
ὀνόματι τούτῳ. (62.) ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί
ἂν θέλοι καλεῖσθαι αὐτό. (63.) καὶ αἰτήσας πινακίδιον
ἔγραψεν λέγων, Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ. καὶ ἐθαύ-
μασαν πάντες. (64.) ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παρα-
χρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν
θεόν. (65.) καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοι-

κοῦντας αὐτούς, καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας
διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα, (66.) καὶ ἔθεντο
πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες, Τί
ἄρα τὸ παιδίον τοῦτο ἔσται; καὶ γὰρ χεὶρ κυρίου ἦν
μετ᾽ αὐτοῦ.
(67.) Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος
ἁγίου καὶ ἐπροφήτευσεν λέγων,
(68.) Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ,
ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ
αὐτοῦ, @1
(69.) καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν
ἐν οἴκῳ Δαυὶδ παιδὸς αὐτοῦ,
(70.) καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων ἀπ᾽ αἰῶνος
προφητῶν αὐτοῦ,
(71.) σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων
τῶν μισούντων ἡμᾶς·
(72.) ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν
καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ,
(73.) ὅρκον ὃν ὤμοσεν πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν,
τοῦ δοῦναι ἡμῖν
(74.) ἀφόβως ἐκ χειρὸς ἐχθρῶν
ῥυσθέντας
λατρεύειν αὐτῷ
(75.) ἐν ὁσιότητι καὶ δικαιοσύνῃ
ἐνώπιον αὐτοῦ πάσαις ταῖς ἡμέραις ἡμῶν.
(76.) Καὶ σὺ δέ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ,
προπορεύσῃ γὰρ ἐνώπιον κυρίου ἑτοιμάσαι
ὁδοὺς αὐτοῦ, @1
(77.) τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ
ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν,
(78.) διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν,
ἐν οἷς ἐπισκέψεται ἡμᾶς ἀνατολὴ ἐξ ὕψους,
(79.) ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις,
τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν
εἰρήνης.
(80.) Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι,
καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς
τὸν Ἰσραήλ.
2.
(1.) Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα
παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν
οἰκουμένην. (2.) αὕτη ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμο-
νεύοντος τῆς Συρίας Κυρηνίου. (3.) καὶ ἐπορεύοντο πάντες
ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν. (4.) Ἀνέβη

δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲθ
εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυὶδ ἥτις καλεῖται Βηθλέεμ,
διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ, (5.) ἀπο-
γράψασθαι σὺν Μαριὰμ τῇ ἐμνηστευμένῃ αὐτῷ, οὔσῃ
ἐγκύῳ. (6.) ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν
αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, (7.) καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς @1
τὸν πρωτότοκον· καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν
αὐτὸν ἐν φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ κατα-
λύματι.
(8.) Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες
καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην
αὐτῶν. (9.) καὶ ἄγγελος κυρίου ἐπέστη αὐτοῖς καὶ δόξα
κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον
μέγαν. (10.) καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, Μὴ φοβεῖσθε,
ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην ἥτις ἔσται
παντὶ τῷ λαῷ, (11.) ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ ὅς
ἐστιν Χριστὸς κύριος ἐν πόλει Δαυίδ· (12.) καὶ τοῦτο
ὑμῖν τὸ σημεῖον, εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ
κείμενον ἐν φάτνῃ. (13.) καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ
ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν
καὶ λεγόντων,
(14.) Δόξα ἐν ὑψίστοις θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκίας. @1
(15.) Καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν οὐρανὸν
οἱ ἄγγελοι, οἱ ποιμένες ἐλάλουν πρὸς ἀλλήλους, Διέλθωμεν
δὴ ἕως Βηθλέεμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς
ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν. (16.) καὶ ἦλθον σπεύσαντες καὶ
ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος
κείμενον ἐν τῇ φάτνῃ· (17.) ἰδόντες δὲ ἐγνώρισαν περὶ τοῦ
ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου.
(18.) καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαλη-
θέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς· (19.) ἡ δὲ Μαριὰμ
πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ
καρδίᾳ αὐτῆς. (20.) καὶ ὑπέστρεψαν οἱ ποιμένες δοξάζοντες
καὶ αἰνοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον
καθὼς ἐλαλήθη πρὸς αὐτούς.
(21.) Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν
αὐτόν, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν
ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλλημφθῆναι αὐτὸν ἐν τῇ
κοιλίᾳ.
(22.) Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ
αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς @1
Ἱεροσόλυμα παραστῆσαι τῷ κυρίῳ, (23.) καθὼς γέγραπται
ἐν νόμῳ κυρίου ὅτι Πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον

τῷ κυρίῳ κληθήσεται, (24.) καὶ τοῦ δοῦναι θυσίαν κατὰ
τὸ εἰρημένον ἐν τῷ νόμῳ κυρίου, ζεῦγος τρυγόνων ἢ
δύο νοσσοὺς περιστερῶν.
(25.) Καὶ ἰδοὺ ἄνθρωπος ἦν ἐν Ἰερουσαλὴμ ᾧ ὄνομα
Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής,
προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ πνεῦμα ἦν
ἅγιον ἐπ' αὐτόν· (26.) καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ
τοῦ πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν [ἢ] ἂν
ἴδῃ τὸν Χριστὸν κυρίου. (27.) καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς
τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον
Ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου
περὶ αὐτοῦ (28.) καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας
καὶ εὐλόγησεν τὸν θεὸν καὶ εἶπεν,
(29.) Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα,
κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ·
(30.) ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου
(31.) ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,
(32.) φῶς εἰς ἀποκάλυψιν ἐθνῶν
καὶ δόξαν λαοῦ σου Ἰσραήλ.
(33.) καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ θαυμάζοντες ἐπὶ @1
τοῖς λαλουμένοις περὶ αὐτοῦ. (34.) καὶ εὐλόγησεν αὐτοὺς
Συμεὼν καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ,
Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν
τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον (35.) (καὶ
σοῦ [δὲ] αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία), ὅπως
ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.
(36.) Καὶ ἦν Ἅννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ
φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς,
ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς,
(37.) καὶ αὐτὴ χήρα ἕως ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ
οὐκ ἀφίστατο τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσιν λατρεύ-
ουσα νύκτα καὶ ἡμέραν. (38.) καὶ αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα
ἀνθωμολογεῖτο τῷ θεῷ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσιν τοῖς
προσδεχομένοις λύτρωσιν Ἰερουσαλήμ.
(39.) Καὶ ὡς ἐτέλεσαν πάντα τὰ κατὰ τὸν νόμον κυρίου,
ἐπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς πόλιν ἑαυτῶν Ναζαρέθ.
(40.) Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πληρούμενον
σοφίᾳ, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό. @1
(41.) Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς
Ἰερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα. (42.) καὶ ὅτε ἐγένετο
ἐτῶν δώδεκα, ἀναβαινόντων αὐτῶν κατὰ τὸ ἔθος τῆς
ἑορτῆς (43.) καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέ-
φειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἰερουσαλήμ,
καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ. (44.) νομίσαντες δὲ

αὐτὸν εἶναι ἐν τῇ συνοδίᾳ ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζή-
τουν αὐτὸν ἐν τοῖς συγγενεῦσιν καὶ τοῖς γνωστοῖς,
(45.) καὶ μὴ εὑρόντες ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ἀναζη-
τοῦντες αὐτόν. (46.) καὶ ἐγένετο μετὰ ἡμέρας τρεῖς εὗρον
αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων
καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς· (47.) ἐξίσταντο
δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς
ἀποκρίσεσιν αὐτοῦ. (48.) καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν,
καὶ εἶπεν πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ, Τέκνον, τί ἐποίησας
ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦ-
μέν σε. (49.) καὶ εἶπεν πρὸς αὐτούς, Τί ὅτι ἐζητεῖτέ με;
οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με;
(50.) καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς.
(51.) καὶ κατέβη μετ’ αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέθ, καὶ
ἦν ὑποτασσόμενος αὐτοῖς. καὶ ἡ μήτηρ αὐτοῦ διετήρει
πάντα τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτῆς. (52.) Καὶ Ἰησοῦς
προέκοπτεν [ἐν τῇ] σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ
θεῷ καὶ ἀνθρώποις.
3.
(1.) Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου
Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας,
καὶ τετρααρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου
δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετρααρχοῦντος τῆς Ἰτουραίας καὶ
Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετρααρ- @1 (5)
χοῦντος, (2.) ἐπὶ ἀρχιερέως Ἅννα καὶ Καϊάφα, ἐγένετο
ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ.
(3.) καὶ ἦλθεν εἰς πᾶσαν [τὴν] περίχωρον τοῦ Ἰορδάνου
κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν,
(4.) ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἠσαΐου τοῦ προφήτου,
Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ,
Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,
εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.
(5.) πᾶσα φάραγξ πληρωθήσεται
καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται,
καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθείαν
καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας·
(6.) καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ.
(7.) Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι
ὑπ’ αὐτοῦ, Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν
ἀπὸ τῆς μελλούσης ὀργῆς; (8.) ποιήσατε οὖν καρποὺς
ἀξίους τῆς μετανοίας· καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς,
Πατέρα ἔχομεν τὸν Ἀβραάμ, λέγω γὰρ ὑμῖν ὅτι δύναται
ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.
(9.) ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται·

πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. (10.) Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες, Τί οὖν ποιήσωμεν; (11.) ἀποκριθεὶς δὲ ἔλεγεν αὐτοῖς, Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω. (12.) ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι καὶ εἶπαν πρὸς αὐτόν, Διδάσκαλε, τί ποιήσωμεν; (13.) ὁ δὲ εἶπεν πρὸς αὐτούς, Μηδὲν πλέον @1 παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. (14.) ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες, Τί ποιήσωμεν καὶ ἡμεῖς; καὶ εἶπεν αὐτοῖς, Μηδένα διασείσητε μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.

(15.) Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός, (16.) ἀπεκρίνατο λέγων πᾶσιν ὁ Ἰωάννης, Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· (17.) οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ διακαθᾶραι τὴν ἅλωνα αὐτοῦ καὶ συναγαγεῖν τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. (18.) Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν· (19.) ὁ δὲ Ἡρῴδης ὁ τετραάρχης, ἐλεγχόμενος ὑπ’ αὐτοῦ περὶ Ἡρῳδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ καὶ περὶ πάντων ὧν ἐποίησεν πονηρῶν ὁ Ἡρῴδης, (20.) προσέθηκεν καὶ τοῦτο ἐπὶ πᾶσιν, κατέκλεισεν τὸν Ἰωάννην ἐν φυλακῇ.

(21.) Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου ἀνεῳχθῆναι τὸν οὐρανὸν (22.) καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡς περιστερὰν ἐπ’ αὐτόν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα. @1

(23.) Καὶ αὐτὸς ἦν Ἰησοῦς ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα, ὢν υἱός, ὡς ἐνομίζετο, Ἰωσὴφ τοῦ Ἠλὶ (24.) τοῦ Ματθὰτ τοῦ Λευὶ τοῦ Μελχὶ τοῦ Ἰανναὶ τοῦ Ἰωσὴφ (25.) τοῦ Ματταθίου τοῦ Ἀμὼς τοῦ Ναοὺμ τοῦ Ἑσλὶ τοῦ Ναγγαὶ (26.) τοῦ Μάαθ τοῦ Ματταθίου τοῦ Σεμεῒν τοῦ Ἰωσὴχ τοῦ Ἰωδὰ (27.) τοῦ Ἰωανὰν τοῦ Ῥησὰ τοῦ Ζοροβαβὲλ τοῦ Σαλαθιὴλ τοῦ Νηρὶ (28.) τοῦ Μελχὶ τοῦ Ἀδδὶ τοῦ Κωσὰμ τοῦ Ἐλμαδὰμ τοῦ Ἢρ (29.) τοῦ Ἰησοῦ τοῦ Ἐλιέζερ τοῦ Ἰωρὶμ τοῦ Ματθὰτ τοῦ Λευὶ (30.) τοῦ Συμεὼν τοῦ Ἰούδα τοῦ Ἰωσὴφ τοῦ Ἰωνὰμ τοῦ Ἐλιακὶμ (31.) τοῦ Μελεὰ τοῦ Μεννὰ τοῦ Ματταθὰ τοῦ Ναθὰμ τοῦ Δαυὶδ (32.) τοῦ Ἰεσσαὶ τοῦ Ἰωβὴδ τοῦ Βόος τοῦ Σαλὰ τοῦ Ναασσὼν (33.) τοῦ Ἀμιναδὰβ τοῦ Ἀδμὶν τοῦ Ἀρνὶ @1

τοῦ Ἑσρὼμ τοῦ Φάρες τοῦ Ἰούδα (34.) τοῦ Ἰακὼβ τοῦ
Ἰσαὰκ τοῦ Ἀβραὰμ τοῦ Θάρα τοῦ Ναχὼρ (35.) τοῦ
Σεροὺχ τοῦ Ῥαγαὺ τοῦ Φάλεκ τοῦ Ἔβερ τοῦ Σαλὰ
(36.) τοῦ Καϊνὰμ τοῦ Ἀρφαξὰδ τοῦ Σὴμ τοῦ Νῶε τοῦ
Λάμεχ (37.) τοῦ Μαθουσαλὰ τοῦ Ἑνὼχ τοῦ Ἰάρετ τοῦ
Μαλελεὴλ τοῦ Καϊνὰμ (38.) τοῦ Ἐνὼς τοῦ Σὴθ τοῦ Ἀδὰμ
τοῦ θεοῦ.
4.
(1.) Ἰησοῦς δὲ πλήρης πνεύματος ἁγίου ὑπέστρεψεν ἀπὸ
τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ πνεύματι ἐν τῇ ἐρήμῳ
(2.) ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου.
καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συν-
τελεσθεισῶν αὐτῶν ἐπείνασεν. (3.) Εἶπεν δὲ αὐτῷ ὁ διά-
βολος, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα
γένηται ἄρτος. (4.) καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ Ἰησοῦς,
Γέγραπται ὅτι Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος.
(5.) Καὶ ἀναγαγὼν αὐτὸν ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας
τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου· (6.) καὶ εἶπεν αὐτῷ ὁ @1
διάβολος, Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ
τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται καὶ ᾧ ἐὰν θέλω
δίδωμι αὐτήν· (7.) σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιον ἐμοῦ,
ἔσται σοῦ πᾶσα. (8.) καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ,
Γέγραπται,
Κύριον τὸν θεόν σου προσκυνήσεις
καὶ αὐτῷ μόνῳ λατρεύσεις.
(9.) Ἤγαγεν δὲ αὐτὸν εἰς Ἰερουσαλὴμ καὶ ἔστησεν ἐπὶ τὸ
πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ
θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω· (10.) γέγραπται γὰρ
ὅτι
Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ
τοῦ διαφυλάξαι σε,
(11.) καὶ ὅτι
Ἐπὶ χειρῶν ἀροῦσίν σε
μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.
(12.) καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Εἴρηται,
Οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. (13.) Καὶ συντε-
λέσας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ
ἄχρι καιροῦ.
(14.) Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύ-
ματος εἰς τὴν Γαλιλαίαν. καὶ φήμη ἐξῆλθεν καθ' ὅλης
τῆς περιχώρου περὶ αὐτοῦ. (15.) καὶ αὐτὸς ἐδίδασκεν ἐν
ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων.
(16.) Καὶ ἦλθεν εἰς Ναζαρά, οὗ ἦν τεθραμμένος, καὶ
εἰσῆλθεν κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων @1

εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι. (17.) καὶ
ἐπεδόθη αὐτῷ βιβλίον τοῦ προφήτου Ἠσαΐου, καὶ ἀνα-
πτύξας τὸ βιβλίον εὗρεν τὸν τόπον οὗ ἦν γεγραμμένον,
(18.) Πνεῦμα κυρίου ἐπ᾽ ἐμέ,
οὗ εἵνεκεν ἔχρισέν με
εὐαγγελίσασθαι πτωχοῖς,
ἀπέσταλκέν με κηρύξαι αἰχμαλώτοις ἄφεσιν
καὶ τυφλοῖς ἀνάβλεψιν, (5)
ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει,
(19.) κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν.
(20.) καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν·
καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀτενί-
ζοντες αὐτῷ. (21.) ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι
Σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.
(22.) Καὶ πάντες ἐμαρτύρουν αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς
λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος
αὐτοῦ, καὶ ἔλεγον, Οὐχὶ υἱός ἐστιν Ἰωσὴφ οὗτος; (23.) καὶ
εἶπεν πρὸς αὐτούς, Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν
ταύτην· Ἰατρέ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν
γενόμενα εἰς τὴν Καφαρναοὺμ ποίησον καὶ ὧδε ἐν τῇ
πατρίδι σου. (24.) εἶπεν δέ, Ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς
προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. (25.) ἐπ᾽
ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς @1
ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς
ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ
πᾶσαν τὴν γῆν, (26.) καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη
Ἠλίας εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδωνίας πρὸς γυναῖκα
χήραν. (27.) καὶ πολλοὶ λεπροὶ ἦσαν ἐν τῷ Ἰσραὴλ ἐπὶ
Ἐλισαίου τοῦ προφήτου, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη
εἰ μὴ Ναιμὰν ὁ Σύρος. (28.) καὶ ἐπλήσθησαν πάντες
θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα, (29.) καὶ ἀνα-
στάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἤγαγον
αὐτὸν ἕως ὀφρύος τοῦ ὄρους ἐφ᾽ οὗ ἡ πόλις ᾠκοδόμητο
αὐτῶν, ὥστε κατακρημνίσαι αὐτόν· (30.) αὐτὸς δὲ διελθὼν
διὰ μέσου αὐτῶν ἐπορεύετο.
(31.) Καὶ κατῆλθεν εἰς Καφαρναοὺμ πόλιν τῆς Γαλιλαίας.
καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασιν· (32.) καὶ
ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ
λόγος αὐτοῦ. (33.) καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων
πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξεν φωνῇ με-
γάλῃ, (34.) Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες
ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. (35.) καὶ
ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων, Φιμώθητι καὶ ἔξελθε
ἀπ᾽ αὐτοῦ. καὶ ῥῖψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον

ἐξῆλθεν ἀπ᾽ αὐτοῦ μηδὲν βλάψαν αὐτόν. (36.) καὶ ἐγένετο
θάμβος ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους
λέγοντες, Τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει
ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασιν, καὶ ἐξέρχονται; @1
(37.) καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς
περιχώρου.
(38.) Ἀναστὰς δὲ ἀπὸ τῆς συναγωγῆς εἰσῆλθεν εἰς τὴν
οἰκίαν Σίμωνος. πενθερὰ δὲ τοῦ Σίμωνος ἦν συνεχο-
μένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς.
(39.) καὶ ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησεν τῷ πυρετῷ,
καὶ ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει
αὐτοῖς. (40.) Δύνοντος δὲ τοῦ ἡλίου ἅπαντες ὅσοι εἶχον
ἀσθενοῦντας νόσοις ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτόν·
ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιτιθεὶς ἐθεράπευεν
αὐτούς. (41.) ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν,
κραυγάζοντα καὶ λέγοντα ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ.
καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν
Χριστὸν αὐτὸν εἶναι.
(42.) Γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον
τόπον· καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτόν, καὶ ἦλθον ἕως
αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ᾽ αὐτῶν.
(43.) ὁ δὲ εἶπεν πρὸς αὐτοὺς ὅτι Καὶ ταῖς ἑτέραις πόλεσιν
εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ θεοῦ, ὅτι ἐπὶ
τοῦτο ἀπεστάλην. (44.) καὶ ἦν κηρύσσων εἰς τὰς συναγωγὰς
τῆς Ἰουδαίας. @1
5.
(1.) Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ καὶ
ἀκούειν τὸν λόγον τοῦ θεοῦ καὶ αὐτὸς ἦν ἑστὼς παρὰ
τὴν λίμνην Γεννησαρέτ, (2.) καὶ εἶδεν δύο πλοῖα ἑστῶτα
παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀπ᾽ αὐτῶν ἀποβάντες
ἔπλυνον τὰ δίκτυα. (3.) ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ
ἦν Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν
ὀλίγον, καθίσας δὲ ἐκ τοῦ πλοίου ἐδίδασκεν τοὺς ὄχλους.
(4.) ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπεν πρὸς τὸν Σίμωνα,
Ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν
εἰς ἄγραν. (5.) καὶ ἀποκριθεὶς Σίμων εἶπεν, Ἐπιστάτα,
δι᾽ ὅλης νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ
ῥήματί σου χαλάσω τὰ δίκτυα. (6.) καὶ τοῦτο ποιήσαντες
συνέκλεισαν πλῆθος ἰχθύων πολύ, διερρήσσετο δὲ τὰ
δίκτυα αὐτῶν. (7.) καὶ κατένευσαν τοῖς μετόχοις ἐν τῷ
ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ
ἦλθαν, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα ὥστε βυθίζεσθαι
αὐτά. (8.) ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσεν τοῖς γόνασιν
Ἰησοῦ λέγων, Ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός

εἰμι, κύριε· (9.) θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας
τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ὧν συνέλαβον,
(10.) ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην υἱοὺς Ζεβεδαίου,
οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. καὶ εἶπεν πρὸς τὸν Σίμωνα
ὁ Ἰησοῦς, Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ
ζωγρῶν. (11.) καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν
ἀφέντες πάντα ἠκολούθησαν αὐτῷ.
(12.) Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων
καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν τὸν Ἰησοῦν @1
πεσὼν ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ λέγων, Κύριε, ἐὰν
θέλῃς δύνασαί με καθαρίσαι. (13.) καὶ ἐκτείνας τὴν χεῖρα
ἥψατο αὐτοῦ λέγων, Θέλω, καθαρίσθητι· καὶ εὐθέως ἡ
λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ. (14.) καὶ αὐτὸς παρήγγειλεν
αὐτῷ μηδενὶ εἰπεῖν, ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ
ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου καθὼς
προσέταξεν Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς. (15.) διήρχετο
δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι
πολλοὶ ἀκούειν καὶ θεραπεύεσθαι ἀπὸ τῶν ἀσθενειῶν
αὐτῶν· (16.) αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις καὶ
προσευχόμενος.
(17.) Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας
καὶ Ἰουδαίας καὶ Ἰερουσαλήμ· καὶ δύναμις κυρίου ἦν
εἰς τὸ ἰᾶσθαι αὐτόν. (18.) καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ
κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν
εἰσενεγκεῖν καὶ θεῖναι [αὐτὸν] ἐνώπιον αὐτοῦ. (19.) καὶ
μὴ εὑρόντες ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον
ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων καθῆκαν αὐτὸν
σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. @1